UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Capvt XXXV. Sacra ad sanctam Synodum missa per Candidianum comitem domesticorum, cui seruandi in Synodo ordinis cura demandata erat.

**urn:nbn:de:hbz:466:1-15062**

Visual Library

ANNO CHRISTI 431.

δόγματα, τῆς ἐκείνου μερίδος εἰσίν· οὐ φεύξονται δὲ τὸ κρίμα τοῦ θεοῦ. προσεύχεσθε τοίνυν ὑπὲρ ἡμῶν, ἵνα ὁ θεὸς ὁ πάντων σωτὴρ δοίη πάλιν χαίρουσι χαίροντας ἀποδοθῆναι· πάντα γὰρ δύναται, καὶ ἀδυνατεῖ παντελῶς οὐδὲν αὐτῷ. ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί. ἐρρῶσθαι ὑμᾶς ἐν κυρίῳ εὔχομαι, ἀγαπητοὶ καὶ ἀδελφοὶ ποθεινότατοι.

tunt, de sorte illius sunt; neque Dei iudicium euadere possunt. Orate igitur pro nobis, vt Dei omnium saluatoris munere gaudentes gaudentibus iterum restituamur. Omnia enim potest; & nihil omnino est quod ipse non queat. *Salutate vos inuicem in osculo sancto.* Salutant vos, qui mecum sunt fratres. Valere vos in Domino exopto, dilecti & desideratissimi fratres.

## ΚΕΦΑΛΑΙΟΝ λε΄.

*Θεῖον γράμμα ἀποσταλὲν τῇ ἁγίᾳ συνόδῳ διὰ Κανδιδιανοῦ κόμητος δομεστίκων, τοῦ καὶ τὴν εὐταξίαν τῆς συνόδου ἐγχειρισθέντος.*

Αὐτοκράτορες Καίσαρες, Θεοδόσιος καὶ Οὐαλεντινιανός, νικηταί, τροπαιοῦχοι, μέγιστοι, ἀεισέβαστοι Αὔγουστοι, τῇ ἁγίᾳ συνόδῳ.

ΠΑΝΤΩΝ μὲν τῶν κοινῇ συντελούντων πολλὴν φροντίδα ποιούμεθα, διαφερόντως δὲ τῶν εἰς εὐσέβειαν ἡκόντων· δι᾽ ὧν καὶ τῶν λοιπῶν ἀγαθῶν ἡ χορηγία τοῖς ἀνθρώποις περιγίνεται. διά τοι τοῦτο πρῴην μὲν περὶ τοῦ συνελθεῖν τὴν ὑμετέραν θεοσέβειαν εἰς τὴν τῶν Ἐφεσίων μητρόπολιν, τὰ εἰκότα γεγραφήκαμεν. ἐπεὶ δὲ χρὴ καὶ τῆς πρεπούσης εὐταξίας τε καὶ ἡσυχίας τῇ διασκέψει τῆς ἁγιωτάτης ὑμῶν συνόδου δεόντως φροντίσαι, οὐδὲ τοῦτο παρήκαμεν· ὥστε αὐτῇ πανταχόθεν *περιφυλαχθῆναι τὸ ἀτάραχον. καὶ πεπείσμεθα μέν, ὡς οὐδεμιᾶς τῆς ἔξωθεν βοηθείας εἰς τὸ καὶ ἑτέροις εἰρήνην

* ὑπάρξαι

## CAPVT XXXV.

*Sacra ad sanctam Synodum missa per Candidianum comitem domesticorum, cui seruandi in Synodo ordinis cura demandata erat.*

*Imperatores Cæsares, Theodosius & Valentinianus, victores, triumphatores, maximi, semper Augusti, sanctæ Synodo.*

CVM magnam omnium quæ e re publica sunt, curam habeamus, tum vero maximam illorum, quæ pertinent ad pietatem: per ea namque cetera quoque bona hominibus adiiciuntur. Scripsimus proinde non ita multo ante de pietatis vestræ Synodo apud Ephesiorum metropolim congreganda, quæ opus erat. Quia vero debiti ordinis quietisque, quam sacræ vestræ Synodi consultationes deposcunt, curam adhibere iure oportet; hanc quoque partem, quo vndique tranquillitas adesset, non prætermisimus. Non arbitramur autem, pietatem vestram vt aliis pacem con-

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

ciliet, alterius cuiuspiam extrinsecæ opis egere. nihilominus ad nostrum erga religionẽ studium, singularemq; prouidentiam pertinebat & hanc quoque non negligere.

Igitur Candidianum præclarissimum sacrorum domesticorum comitem ad sacram vestram Synodum abire iussimus; sed ea lege & conditione, vt cum quæstionibus & cōtrouersiis quæ circa fidei dogmata incidunt, nihil quidquam commune habeat:(nefas est enim qui sanctissimorum episcoporum catalogo adscriptus non est, illum ecclesiasticis negotiis & consultationibus sese immiscere ) verum vt monachos, & sæculares, qui huius spectaculi causa vel eo nunc confluxerunt, vel in posterum confluent, ab eadem illa ciuitate modis omnibus submoueat: (quandoquidem non licet, illos qui omnino necessarii non sunt ad sacrorum dogmatum examen, tumultus excitare, & iis quæ cum tranquillitate a vestra sanctitate constitui definirique debent, obstaculum aliquod afferre ) tum rursum, vt diligenter prospiciat, ne qua dissensio ex mutuo repugnandi studio coorta increbrescat, & sæuæ tempestatis instar debacchata, sanctissimæ Synodi vestræ consultationem, exactioremque veritatis indagationẽ forte obturbet: sed vt iis quæ dicuntur, rite perceptis, singuli inoffense quod visum fuerit in medium proponere, vel ab aliis propositum refutare queant: vt ea tandem ratione, vbi per singulas propositiones exceptionesque inquisitio citra vllam omnino turbam contentionemque habita fuerit, quod omnibus placitum probatumque erit, communi vestræ sanctitatis sententia constituatur decernaturque. Ante omnia autem

παρασχεῖν δεῖται ὑμῶν ἡ θεοσέβεια. τὴν δὲ καὶ τοῦτο τῆς* ἐμμελοῦς ἡμῶν περὶ τὴν εὐσέβειαν προνοίας μὴ παριδεῖν. Anno Christi 431.

Ἐντέταλται τοίνυν Κανδιδιανὸς, ὁ μεγαλοπρεπέστατος κόμης τῶν καθωσιωμένων δομεστίκων, ἄχρι τῆς ἁγίας ὑμῶν διαβῆναι συνόδου· καὶ μηδὲν μὲν ταῖς περὶ τῶν δογμάτων γινομέναις ζητήσεσι κοινωνῆσαι· ἀθέμιτον γὰρ, τὸν * μὴ τοῦ καταλόγου τῶν ἁγιωτάτων ἐπισκόπων τυγχάνοντα τοῖς ἐκκλησιαστικοῖς σκέμμασιν ἐπιμίγνυσθαι· τοὺς κοσμικοὺς δὲ καὶ μονάζοντας, τούς τε ἤδη διὰ τοῦτο συνειλεγμένους, καὶ τοὺς συνάγεσθαι μέλλοντας, τῆς αὐτῆς παντὶ τρόπῳ χωρίσαι πόλεως· ἐπειδήπερ οὐ χρὴ τοὺς κατ' οὐδὲν ἀναγκαίους ὄντας τῇ μελλούσῃ τοῦ δόγματος διασκέψει, κινεῖν θορύβους, καὶ διὰ τοῦτο ἐμποδίζειν τοῖς εἰρηνικῶς τυπωθῆναι παρὰ τῆς ὑμετέρας ἁγιωσύνης ὀφείλουσι· καὶ φροντίσαι τοῦ μή τινα διχόνοιαν ἐξ ἀντιπαθείας ἐπὶ πλέον παραταθῆναι· ὡς ἂν μὴ ἐκ τούτου ἡ τῆς ἁγιωτάτης ὑμῶν συνόδου παρεμποδίζοιτο διάσκεψις, καὶ ἡ ἀκριβὴς τῆς ἀληθείας ζήτησις ἐκ τῆς ἐγγινομένης τυχὸν ἀτάκτου περιηχήσεως διακρούηται· ἀνεξικάκως δὲ τῶν λεγομένων ἕκαστον ἀκροώμενον προστιθέναι τὸ δοκοῦν, ἢ ἀντιτιθέναι· καὶ οὕτως κατὰ πρότασίν τε καὶ λύσιν, τὴν περὶ τοῦ ἀληθοῦς δόγματος ἔρευναν δίχα τινὸς ταραχῆς * διαλυθῆναι, καὶ κοινῇ τῆς ὑμετέρας ὁσιότητος ψήφῳ ἀστασίαστόν τε καὶ τὸν πᾶσιν ἀρέσκοντα τύπον λαβεῖν. πρωτοτύπως δὲ παρὰ

τῆς

ANNO CHRISTI 431.

τῆς ἡμετέρας θειότητος ὁ αὐτὸς μεγαλοπρεπέστατος ἀνὴρ Κανδιδιανὸς ἐντέταλται, παντὶ τρόπῳ παραφυλάττειν, μηδένα τῶν τῆς ἁγιωτάτης ὑμῶν συνόδου ὡς οἴκαδε ἐπανιόντα, ἢ καὶ τὸ θεῖον ἡμῶν στρατόπεδον καταλαβεῖν βουλόμενον, ἢ καὶ ἀλλαχοῦ που ἀφικνεῖσθαι προῃρημένον, ἀπολιπεῖν τὸν ὁρισθέντα τῇ διασκέψει* τόπον· μήτε μὴν ἑτέραν τὸ σύμπαν προστεθῆναι ἐκκλησιαστικὴν ζήτησιν, ἢ τινων ἐξαιτουμένων, ἢ ὁπωσοῦν ἔκ τινος ἀνακύπτουσαν ὑπόθεσιν, μὴ συντείνουσαν εἰς τὴν προκειμένην τοῦ ἁγίου δόγματος διάσκεψιν, πρὶν ἂν πᾶσα ἡ τοῦ ζητουμένου λυθείη ἀμφισβήτησις, καὶ τὰ εἰς τὴν ἀληθῆ ἔρευναν λυσιτελοῦντα, πρὸς ἀκρίβειαν ζητηθέντα τέλους τύχῃ τοῦ τῇ ὀρθοδόξῳ θρησκείᾳ συμβαίνοντος. γινωσκέτω δὲ ὑμῶν ἡ θεοσέβεια, δεδόχθαι τῇ ἡμετέρᾳ γαληνότητι, μηδεμίαν ἢ ἐπὶ τῆς ἁγίας ὑμῶν συνόδου, ἢ καὶ ἐν δημοσίῳ αὐτόθι δικαστηρίῳ χρηματικὴν ἢ ἐγκληματικὴν κατά τινος κινηθῆναι αἰτίασιν, εἴ τινι τυχὸν ταύτην εἶναι συμβαίνοι· πᾶσαν γὰρ τὴν περὶ τούτων διάγνωσιν συγκροτηθῆναι κατὰ τὴν μεγαλώνυμον πόλιν. Εἰρηναῖον δὲ τὸν μεγαλοπρεπέστατον ἄνδρα φιλίας μόνον χάριν συνεκδεδημηκέναι τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ τῆσδε τῆς μεγαλωνύμου πόλεως Νεστορίῳ, μήτε τοῖς σκέμμασι τῆς ἁγιωτάτης ὑμῶν συνόδου, μήτε μὴν τοῖς ἐγκελευσθεῖσι τῷ παρ' ἡμῶν ἀποσταλέντι τῷ ἐνδοξοτάτῳ ἀνδρὶ Κανδιδιανῷ κατά τινα λόγον κοινωνήσοντα.

* ἀντὶ

eidem magnificentissimo Candidiano mandatum est, vt quam studiosissime obseruet, ne quem ex sanctissima vestra Synodo aut reditum molientem, aut iter ad curiam nostram affectantem, aut ad alium quemcumque locum abscedere cupientem, a constituto disquisitionis loco abire permittat. Hinc, ne aliam omnino ecclesiasticam quamcumque controuersiam, vndecumque natam vel motam, quæ ad propositam sancti dogmatis considerationem non pertineat, ante moueri sinat, quam eorum omnium quæ nunc in quæstionem vocata sunt, ambiguitate soluta, ea quæ ad veritatis inuestigationem faciunt, exactissimo iudicio discutiantur, finemque orthodoxæ religioni cõgruum sortiantur. Quin & huius quoque admonita sit vestra pietas, nempe, serenitati nostræ visum esse, vt nulla omnino in sacra vestra Synodo, aut etiam in publico Ephesiorum iudicio, pecuniaria aut criminalis causa aduersus aliquem agitetur. Quod si quid eiusmodi extiterit, cuipiamve vsu venerit, huius integram cognitionem magnæ huic nostræ ciuitati reseruatam volumus. Denique nec id quoque vobis clam sit, videlicet, magnificentissimum comitem Irenæum neque sanctissimæ vestræ Synodi consiliis, neque his quæ eximio legato nostro Candidiano a nobis demandata sunt, vllatenus communicare debere: vt qui solius amicitiæ causa cum piissimo celeberrimæ ciuitatis huius episcopo Nestorio Ephesum profectus sit.